# VERSION GRECQUE

## Deux vieillards s'en vont danser

*Tirésias est venu chercher Cadmos au palais. Revêtus de la tenue des bacchants, ils partent célébrer Dionysos dans la montagne.*

ΚΑΔΜΟΣ — Ἥκω δ' ἕτοιμος τήνδ' ἔχων σκευὴν θεοῦ·
δεῖ γάρ νιν ὄντα παῖδα θυγατρὸς ἐξ ἐμῆς[1]
ὅσον καθ' ἡμᾶς δυνατὸν αὔξεσθαι μέγαν.
Ποῖ δεῖ χορεύειν, ποῖ καθιστάναι πόδα
καὶ κρᾶτα σεῖσαι πολιόν; Ἐξηγοῦ σύ μοι
γέρων γέροντι, Τειρεσία· σὺ γὰρ σοφός.
Ὡς οὐ κάμοιμ' ἂν οὔτε νύκτ' οὔθ' ἡμέραν
θύρσῳ κροτῶν γῆν· ἐπιλελήσμεθ' ἡδέως
γέροντες ὄντες.
ΤΕΙΡΕΣΙΑΣ — Ταὔτ' ἐμοὶ πάσχεις ἄρα·
κἀγὼ γὰρ ἡβῶ κἀπιχειρήσω χοροῖς.
Κα. — Οὔκουν ὄχοισιν εἰς ὄρος περάσομεν;
Τε. — Ἀλλ' οὐχ ὁμοίως ἂν ὁ θεὸς τιμὴν ἔχοι.
Κα. — Γέρων γέροντα παιδαγωγήσω σ' ἐγώ;
Τε. — Ὁ θεὸς ἀμοχθεὶ κεῖσε νῷν ἡγήσεται.
Κα. — Μόνοι δὲ πόλεως Βακχίῳ χορεύσομεν;
Τε. — Μόνοι γὰρ εὖ φρονοῦμεν, οἱ δ' ἄλλοι κακῶς.
Κα. — Μακρὸν τὸ μέλλειν· ἀλλ' ἐμῆς ἔχου χερός.
Τε. — Ἰδού, ξύναπτε καὶ ξυνωρίζου χέρα.
Κα. — Ἐρεῖ τις ὡς τὸ γῆρας οὐκ αἰσχύνομαι,
μέλλων χορεύειν κρᾶτα κισσώσας ἐμόν;
Τε. — Οὐ γὰρ διήρηχ' ὁ θεὸς οὔτε τὸν νέον,
εἰ χρὴ χορεύειν οὔτε τὸν γεραίτερον,
ἀλλ' ἐξ ἁπάντων βούλεται τιμὰς ἔχειν
κοινάς, διαριθμῶν δ' οὐδέν' αὔξεσθαι θέλει.

EURIPIDE

[1] Cadmos est le père de Sémélé, mère de Dionysos.